# ΠΑΡΑΚΛΗΣΙΣ ΚΑΙ ΟΙΚΟΙ
## ΕΙΣ ΤΟΝ
## ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ
# ΔΗΜΗΤΡΙΟΝ ΤΟΝ ΜΥΡΟΒΛΗΤΗΝ

Ἐκδίδεται χάριν εὐλαβείας καὶ ἀγάπης εἰς τὸν Ἅγιον ὑπὸ τοῦ Αἰδεσιμωτάτου καὶ Πνευματικοῦ Πατρὸς
ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΤΕΡΗ
Ἱερέως καὶ ἐφημερίου τοῦ Ναοῦ Ὁσίου Μελετίου.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Προωρώμην τὸν Κύριόν μου διὰ παντός.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ Πηγῶν Ἰσραήλ.

Προσετέθησαν ἐν τῷ ἡμετέρῳ φυλλαδίῳ ὁ Πολυέλεος καὶ Μακαριστήρια εἰς τὸν Ἅγιον Δημήτριον.

Ἅγιε ἔνδοξε Στρατηλάτα τοῦ ἐπουρανίου Βασιλέως τοῦ Χριστοῦ, Μυροβλῆτα καὶ θαυματουργὲ Ἅγιε Δημήτριε πρέσβευε ὑπὲρ τοῦ ἑλληνικοῦ ἔθνους καὶ πάντων τῶν εὐσεβῶν Χριστιανῶν καὶ τῶν ἑορταζόντων τὴν ἱεράν σου πανήγυριν διαφύλαττε αὐτούς.

ΑΘΗΝΑΙ 1925.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ
# ΜΥΡΟΒΛΥΤΗΝ ΔΗΜΗΤΡΙΟΝ
## ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ

Μετὰ τὸ Εὐλογητόν, τὸ Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἐν τῷ πανσέπτῳ καὶ ἁγίῳ Ναῷ σου συναθροισθέντες οἱ πιστοὶ ὁμοφρόνως, ἐκλιπαροῦμεν πόθῳ σε, Δημήτριε, ῥῦσαι ταῖς πρεσβείαις σου πειρασμῶν καὶ κινδύνων ὅπως μεγαλύνωμεν, τοὺς σεπτούς σου ἀγῶνας, οὕς περ ὑπέστης στερρῶς ὑπὲρ Χριστοῦ, στεφανηφόρε ὁπλῖτα Δημήτριε.

Δόξα. Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε

Εἶτα τὸ Ν΄. καὶ ὁ κανὼν οὗ ἡ Ἀκροστιχίς.

Τὸν ἀείφωτον Δημήτριον σέβω.

Ἐν δὲ τοῖς Θεοτοκίοις, Σεραφείμ.

Ὠδὴ Α΄, ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας. Ἅγιε τοῦ Θεοῦ.

Τὸν πάντων Δεσπότην καὶ ποιητὴν ἱλέωσαι, Μάρτυς, ἐλεῆσαί με καὶ δεινῆς ἐπηρείας, Μάκαρ, ῥύσασθαί με, τὸν προσφεύγοντα πιστῶς ἐν τῇ σκέπῃ σου.

Ὁ πταίσματι στενούμενος χαλεποῖς, καὶ πλήθει κινδύνων πιεζόμενος ἐκβοῶ· Δημήτριε Μά-



καρ, πρόστηθί μοι, τῆς συνεχούσης ἀνάγκης καὶ λύτρωσαι. Δόξα.

Νομίμως ἀθλήσας ὑπὲρ Χριστοῦ, ἀνύστακτος φύλαξ ἐχαρίσθης Χριστιανοῖς· γενήθητι σκέπη καὶ προστάτης τῶν προσφυγόντων σοι, θεῖε Δημήτριε. Θεοτοκίον.

Σὺ σώζουσα πάντας τοὺς γηγενεῖς, ἀεί τε κινδύνων λυτρουμένη τῶν χαλεπῶν· σῶζε νῦν ἐκ βλάβης τοὺς οἰκέτας, κατακρατούσης ἡμᾶς, Θεονύμφευτε

Ὠδὴ Γ΄. Σὺ εἶ τὸ στερέωμα. Ἅγιε τοῦ Θεοῦ.

Ἄνωθεν τοῖς δούλοις σου, τὴν σὴν βοήθειαν δώρησαι, σώζων ἡμᾶς. Δημήτριε Μάκαρ, ἐκ κινδύνων καὶ θλίψεων.

Ἔντιμος γεγένησαι, τὸ τοῦ Χριστοῦ τιμῶν ὄνομα, διὸ βοῶ λύτρωσαί με πάσης ἀσθενείας, πρεσβείαις σου. Δόξα.

Ἰάματα ἄφθονα, ἡ σὴ Εἰκὼν ἀναβρύουσα, παντοδαπὰς παύει τῶν ἀνθρώπων, ἀσθενείας Δημήτριε. Θεοτοκίον.

Ἐπίσκεψαι Ἄχραντε, νοσηλευόμενον δοῦλόν σου, καὶ τῆς δεινῆς ἀλγηδόνος ῥῦσαι, καὶ παντοίας με θλίψεως.

Ὠδὴ Δ΄. Εἰσακήκοα Κύριε. Ἅγιε τοῦ Θεοῦ.

Φωτοφόρε Δημήτριε, ὀλισθήσας πάθεσί κατενήνεγμαι· ἔγειρόν με κατακείμενον ἐν βυθῷ κακίας καὶ ἀπογνώσεως.

ΠΑΝΤΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣ

Ὦ Δημήτριε κέκτημαι, σὲ φρουρόν μου θεῖον καὶ καταφύγιον πρόστηθί μοι μὴ παραδίδῃς με ἐν ἡμέρᾳ θλίψεως καὶ σῶσόν με. Δόξα πατρί.

Τῶν Μαρτύρων τὸ καύχημα, τὸν ἐμὸν προστάτην σε, ὦ Δημήτριε, δυσωπῶ μὴ καταλίπῃς με, ἐκ δεινῶν καὶ νόσων ἀπολλύμενον.

Ρῶσιν δίδου μοι, Δέσποινα, καὶ τὴν σηπεδόνα ψυχῆς μου ξήρανον, καὶ κινδύνων με ἐξάρπασον, καὶ τῆς κατεχούσης ἀπογνώσεως.

Ὠδὴ Ε΄. Φώτισον ἡμᾶς. Ἅγιε τοῦ Θεοῦ.

Ὁ υἱὸς τῆς ἡμέρας, ὤφθης ἐν καρδίᾳ σου ἔχων φῶς ἄδυτον, δι᾽ οὗ σκοτομήνη τῆς ἀπάτης μειοῦται καὶ ἅπασι, δᾳδουχεῖται γνῶσις θείου φωτός· διὸ βοῶ σοι φώτισόν με, Δημήτριε ἔνδοξε.

Νοερῶς ἱκετεύω, σὲ νυκτὶ καὶ ἡμέρα, Δημήτριε ἔνδοξε· ἐν παντί με τόπῳ καὶ καιρῷ ἱκεσίαις σου φύλαξον, ἀπὸ πάσης βλάβης, νόσων παντοίων καὶ κινδύνων, τὸν εἰς σὲ τὴν ἐλπίδα μου θέμενον.

Δεσμευθεὶς ἀρρωστείᾳ, τῇ ἐπισκοπῇ τῇ σῇ ταύτης νῦν λέλυμαι· τῶν φρικτῶν δὲ πόνων κουφισμὸν ὑπεδέχθην ἀδόκιτον ὑπὲρ ὧν δοξάζων εὐχαριστῶ καὶ μεγαλύνω τὴν θερμήν σου πρεσβείαν, Δημήτριε. Θεοτοκίον.

Ἀπειρόγαμε Κόρη, μορφοῦται ἐκ σοῦ ὁ Πλάστης ὃν ἀεὶ δυσώπει, οἰκτειρῆσαι λαὸν ἁμαρτάνοντα,



καὶ λυτρῶσαι Κόσμον, νόσων δεινῶν καὶ πάσης βλάβης, τὸν εἰς σέ, Θεοτόκε, ἐλπίζοντα.

Ὠδὴ ΣΤ΄. Τὴν δέησιν ἐκχεῶ. Ἅγιε τοῦ Θεοῦ

Ἡγίασε, ὦ Δημήτριε Μάρτυς, σὲ ὁ Πάνσοφος Θεός, ὃν δυσώπει, ἁγιασμὸν τοῖς σοῖς δούλοις ἐκπέμψαι, καὶ φωτισμὸν καὶ πταισμάτων τὴν λύτρωσιν· προστάτης γὰρ παρὰ Θεοῦ, ἐδωρήθης ἡμῖν ἀκαταίσχυντος.

Μακάριον ἀρεταῖς με ὑπάρχειν, πολυπόθητε εὐδόκησον Μάρτυς, σὲ δυσωπῶ τὸν καλόν μου προστάτην, καὶ πίστει κράζω σοι, Μάκαρ Δημήτριε· γενήθητί μοι βοηθὸς καὶ παντοίας ἀνάγκης με λύτρωσαι. Δόξα πατρί.

Ἡ πάνσεπτος καὶ ἁγία Εἰκών σου τοῦ νοός μου θεραπεύει τὰ πάθη, σωματικὰς ἀλγηδόνας τε παύει καὶ τῶν Δαιμόνων ἐπήρειαν. Ἅγιε· δεῖξόν μοι σὺν ταῖς σαῖς λιταῖς τῶν δεινῶν τούτων πάντων ὑπέρτερον. Θεοτοκίον.

Φάνηθι νῦν ἐκ κινδύνοις προστάτης, χαριτόβρυτε Ἁγία Παρθένε, τῷ ταπεινῷ καὶ ἀχρείῳ σου δούλῳ, καὶ θεραπείαν τοῖς νόσοις μου δώρησαι, καὶ κόπασον τὸ χαλεπόν, τῶν παθῶν μου κλυδώνιον δέομαι.

Πρεσβείαις σου ἐκ περιστάσεως πάσης λύτρωσαι, Ἀθλοφόρε, τοὺς ἐπικαλουμένους σε Μάρτυς, Δημήτριε, καὶ ὑμνοῦντάς σου τὰ θαυμάσια ἆθλα.

Καὶ Θεοτοκίον. Ἄχραντε ἡ διὰ λόγου.
Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'.

Προστάτα τῶν πιστῶν ἑτοιμότατε, καὶ ἱκέτα πρὸς Θεὸν ἀκαταίσχυντε, μὴ παρίδῃς δούλων σου δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς συμπαθής, εἰς τὴν βοήθειαν ἡμῶν τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον ὡς οἰκτίρμων, ἱκέτευσον τῷ Κυρίῳ, ὅπως ῥυσθῶμεν τῶν δεινῶν, Δημήτριε ἔνδοξε.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Τρίς.
Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσαν....

Εὐαγγέλιον Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολολῶτα οἴκου Ἰσραήλ. Πορευόμενοι δέ, κηρύσσετε, λέγοντες : Ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε· δαιμόνια ἐκβάλετε, δωρεὰν ἐλάβετε δωρεὰν δότε.



Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...
Στίχος. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός... Καὶ τὸ παρόν.
Ἦχος Πλ. Β'. Μὴ ἐγκαταλίπῃς με...

Γνώμῃ ὀλισθήσαντα, καὶ δουλωθέντα τῷ πλάνῳ, ἀπάτῃ πανένδοξε, πρὸς τὴν ὑπερθαύμαστον προστασίαν σου, καὶ θερμὴν δέησιν, Δημήτριε Μάκαρ, καταφεύγω ὁ πανάθλιος, δεσμοῦ με λύτρωσαι τῶν πειρακτηρίων καὶ θλίψεων, καὶ σῶσόν με πρεσβείαις σου τῶν δαιμονικῶν ἐπιθέσεων· ἵνα σὲ δοξάζω, καὶ πόθῳ ἀνυμνῶ καὶ προσκυνῶ, τὴν σὴν Εἰκόνα πηγάζουσαν ἄπειρα ἰάματα.

Τὸ Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.
Ὠδὴ Ζ'. Θεοῦ συγκατάβασιν. Ἅγιε τοῦ Θεοῦ.

Τῆς πλάνης τὴν ζόφωσιν μειῶν σὺ ὤφθης σαφῶς, Δημήτριε, διαυγέστατον ἄστρον, διὸ ψυχήν μου γνώμην τυφλώττουσαν, θεογνωσίας φωτὶ καταλάμπρυνον, ἀποδιώκων τῆς ἀγνωσίας ἀχλύν.

Ῥανίδα ἰάσεων, τῇ ταπεινῇ μου ψυχῇ δώρησαι, Ἅγιε, καὶ τὰ σώματος πάθη ταῖς ἱκεσίαις σου ἐξαφάνισον, ὦ ἀθλοφόρε Δημήτριε ἔνδοξε, ἵνα δοξάζω, τιμῶ καὶ ἀνυμνῶ σε ἀεί.

Ἰδού σε πεπλήρωκε, τὰς ὑποσχέσεις Χριστὸς ὁ Κύριος πρὸς αὐτὸν ἀνυψώσας τῇ ἐκτιμήσει τῶν παθημάτων αὐτοῦ, ὦ παρεστὼς νῦν, Δημήτριε, πρέσβευε ὑπὲρ ἡμῶν τῶν πιστῶς ὑμνολογούντων σε. Θεοτοκίον.

Ἐλέησον, Πάναγνε, τὸν πλέον πάντων ἀνθρώ-

πων πταίσαντα· οὐκ ἔστι γὰρ ὃς οὕτω παρώργησε τὸν ποιήσαντα, ζήσας ἀσώτως ὡς ἐγὼ ὁ ἄθλιος· διὸ βοῶ δωρεάν. Δέσποινα, σῶσόν με.

Ὠδὴ Η΄ Ἑπταπλασίως κάμινον... Ἅγιε τοῦ Θεοῦ.

Ὁ Ἀσωμάτων τάγμασι, καὶ Μαρτύρων στρατεύμασι θρόνῳ τοῦ Θεοῦ παρεστηκώς, Δημήτριε, καὶ δόξης καὶ χάριτος καὶ φωτισμοῦ πληρούμενος, λῦσον τῶν ἡμῶν ἁμαρτημάτων τὸν ζόφον τῶν πίστει προσκυνούντων τὴν σεπτὴν καὶ τιμίαν καὶ πλήρη χαρισμάτων ἁγίαν σου Εἰκόνα.

Νίκην λαβὼν ὁ δείλαιος ἡδονῶν τῷ ἐκπτώματι, ἔρριμμαι εἰς γῆν, θέαμα θρήνων ἄξιον, Μαμμάκαρ Δημήτριε, νῦν ἐπ' ἐμὲ ἐπίβλεψον, δεῖξον ἐν ἐμοὶ τὴν τῶν θαυμάτων σου χάριν, βροτῶν ἰδέτω γένος, ὅτι σύ μου προστάτης σώζεις ἐκ θανάτου τὸν σὸν ἀχρεῖον δοῦλον. Δόξα πατρί.

Σὺ Μαρτυρίου κάλλεσιν, ὦ Δημήτριε, ἔνδοξε κατεστολισμένος καὶ τοῖς ἄθλων στίγμασι, πορφύραν ἐξ αἵματος, ἐνδεδυμένος τῆς σῆς σφαγῆς, τῷ Θεῷ παρέστης σὺν Ἀγγέλων χορείας καὶ τάξεσι Μαρτύρων, ὃν ἀεὶ ἐκδυσώπει, κοσμῆσαι σωτηρίου ἡμᾶς περιβολαίῳ. Θεοτοκίον.

Ἴασον ταῖς πρεσβείαις σου, καὶ παθῶν ῥῦσαι, Δέσποινα, πλήρωσον χαρᾶς πνευματικῆς τὸν δοῦλόν σου, τῷ κύκλῳ στεφάνωσον τῶν ἀρετῶν, Πανάμωμε, ἔμπλησον παντοίων δωρεῶν μετου-



σίας, καὶ μέτοχόν με δεῖξον Οὐρανῶν βασιλείας, κἂν μου ὑπὲρ ἀξίαν τὸ αἰτηθὲν ὑπάρχῃ.

Ὠδὴ Θ΄. Ἐξέστη ἐπὶ τούτῳ... Ἅγιε τοῦ Θεοῦ.

Ἐσκήνωσας ταῖς ἄνω θείαις Αὐλαῖς, τὸν μισθὸν ἀπολαύσας τῶν πόνων σου· πρόστηθι οὖν πάντοτε, θεόφρον, τοῦ σοῦ λαοῦ, τὴν Πόλιν ταύτην φύλαττε, σῶζε τοὺς προστρέχοντάς σοι πιστῶς, καὶ βράβευσον εἰρήνην, πάσῃ τῇ Οἰκουμένῃ, κἀμοῦ τοῦ σοῦ ἱκέτου μέμνησο.

Βραβείων λαμπροτάτων ἀξιωθείς, ἐκ Θεοῦ, Ἀθλοφόρε Δημήτριε, ἀποσοβεῖς Δαίμονας καὶ νόσους παντοδαπάς, καὶ πειρασμοὺς καὶ θάνατον, πᾶσι τὰ αἰτήματα χορηγῶν· διὸ κἀμοὶ παράσχου εἰρήνην καὶ ὑγείαν, καὶ τῶν πταισμάτων ἀπολύτρωσιν. Δόξα πατρί.

Ὡς ἔχων ἀναφαίρετον θησαυρὸν, τὴν σεπτήν σου Εἰκόνα, Δημήτριε, ὁ σεβασμὸς καὶ θεῖος Ναός σου πάντας Πιστούς, καταπλουτίζει πάντοτε ταῖς τῶν χαρισμάτων διανομαῖς. Διὸ κἀγὼ τῶν θείων τύχοιμι δωρεῶν σου, ὁ προσφυγὼν τῇ θείᾳ σκέπῃ σου. Θεοτοκίον.

Μαρία Θεοτόκε ἐπιτυχεῖν, τῆς τρυφῆς Παραδείσου ἀξίωσον, τὸν ἐπὶ γῆς μόνην σε ἐλπίδα μετὰ Θεόν, μόνην πρεσβείαν ἔχοντα, μόνην προστασίαν, μόνην ἰσχύν. Διὸ μὴ ὑπερίδῃς τολμῶντα ταῦτα λέγειν, Δέσποινα, σῶσόν με τὸν δοῦλόν σου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια

Φρούρει τοὺς τιμῶντάς σε Ἀθλητά, καὶ εὐσεβοφρόνως προσκυνοῦντας τὴν σὴν Μορφήν, καὶ ῥῦσαι κινδύνων καὶ πάσης ἄλλης βλάβης, Δημήτριε τρισμάκαρ, ταῖς ἱκεσίαις σου.

Χαίροις τῶν Μαρτύρων ἡ καλλονή, ὄντως Ἀθλοφόρε Μυροβλύτα, καὶ τῶν πιστῶν· λιμήν τε καὶ τεῖχος, προστάτης τε καὶ σκέπη, Δημήτριε Παμμάκαρ, σκέπε τοὺς δούλους σου.

Φύλαττε σοὺς δούλους, ὦ Ἀθλητά, Μάρτυς Μυροβλύτα, τοὺς τιμῶντάς σε εὐλαβῶς, πίστει τε καὶ πόθῳ τελοῦντάς σου τὴν Μνήμην, ἀπὸ παντοίας βλάβης καὶ περιστάσεως.

Δέξαι, ὦ Δημήτριε Ἀθλητὰ λιτὰς τῶν σῶν δούλων, ἃς ἐκ στόματος ῥυπαροῦ, καὶ γλώττης βεβήλου, προσάγομεν αἰτοῦντες ἁμαρτημάτων λύσιν ταῖς ἱκεσίαις σου. Θεοτοκίον.

Δέσποινα δυσώπει τὸν σὸν Υἱὸν ἀξίους γενέσθαι βασιλείας τῶν Οὐρανῶν, τοὺς πίστει τιμῶντας τὴν ἁγίαν Εἰκόνα τοῦ θείου Δημητρίου τοῦ σοῦ θεράποντος.

Τὸ Τρισάγιον. Καὶ τροπάριον. Ἦχος Γ'.
Διορθωθὲν ὑπὸ τοῦ ἀειμνήστου Νικολάου Λογάδου.

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ Οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαρρύνας τὸν Νέστορα, οὕτως ἅγιε Μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε,



καθελεῖν τὸ φρύαγμα τοῦ ἐχθροῦ, καὶ ἡμᾶς ἐνθαρρῦναι καὶ δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα μνημονεύει ὁ Ἱερεύς.
Ἐν δὲ τῇ ἀπολύσει ψάλλεται τὸ παρὸν Ἦχος Β'.
Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν . . .

Μάρτυς Ἀθλοφόρε τοῦ Χριστοῦ, τοὺς ἐν διαφόροις ἀνάγκαις, σῶσε πρεσβείαις σου, πάσης περιστάσεως ἀπολυτρούμενος καὶ διώκων ψυχόλεθρον, δεινὴν ἀθυμίαν, χάριν δὲ καὶ ἔλεος ἡμῖν αἰτούμενος, ὅπως ταῖς λιταῖς σου σωθέντες, χαίροντες γεραίρωμεν πάντες, τοὺς σεπτοὺς ἀγῶνάς σου, Δημήτριε.

26 Ὀκτωβρίου. Τοῦ Ἁγίου μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλύτου, καὶ ἡ ἀνάμνησις τοῦ μεγάλου σεισμοῦ.

Ἀπολυτίκιον τοῦ Σεισμοῦ. Ἦχος Πλ. Δ'.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ῥῦσαι ἡμᾶς τῆς φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ κατάπεμψον ἡμῖν, πλούσια τὰ ἐλέη σου, πρεσβείαις τῆς Θεοτόκου, καὶ σῶσον ἡμᾶς.

Ἀπολυτίκιον τοῦ Ἁγίου Δημητρίου Ἦχος Γ'.

Μέγαν εὕρατο ἐν τοις κινδύνοις, σὲ ὑπέρμαχον ἡ οἰκουμένη, ἀθλοφόρε τὰ ἔθνη τροπούμενον, ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαρρύνας τὸν Νέστορα· οὕτως Ἅγιε μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὴν Εἴσοδον. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, πρεσβείαις τῆς Θεοτόκου ψάλλοντάς σοι Ἀλληλούϊα.

Κοντάκιον Ἦχος Β'.

Τοις των αἱμάτων σου ῥείθροις Δημήτριε τὴν Ἐκκλησίαν Θεὸς ἐπορφύρωσεν, ὁ δούς σοι τὸ κράτος ἀήττητον καὶ περιέπων τὴν πόλιν σου ἄτρωτον· αὐτῆς γὰρ ὑπάρχεις τὸ στήριγμα.

Μεγαλυνάριον

Τὸν μέγαν ὁπλίτην καὶ ἀθλητὴν, τὸν στεφανοφόρον, καὶ ἐν Μάρτυσι θαυμαστὸν, τὴν λόγχη τρωθέντα, πλευρὰν ὡς ὁ Δεσπότης, Δημήτριον τὸν Θειον, ὕμνοις τιμήσωμεν.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

**Ὁμιλία εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Δημήτριον τὸν Μυροβλήτην.**

Οὗτος ὁ ἔνδοξος στρατηλάτης καὶ Μυροβλήτης Ἅγιος Δημήτριος ἦτο κατὰ τοὺς χρόνους τῶν ἀσεβεστάτων Βασιλέων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἐν ἔτει 296, κατήγετο ἐκ τῆς Μεγαλουπόλεως Θεσσαλονίκης, εὐσεβὴς ὢν ἐκ τῶν γονέων του, διδάσκαλος εἰς τοὺς χριστιανοὺς πιστεύων τὴν ἀληθινὴν καὶ Ὀρθόδοξον πίστιν. Ὅταν μετέβη ὁ Μαξιμιανὸς εἰς τὴν Θεσσαλονίκην,



τότε συνελήφθη καὶ ὁ Ἅγιος Δημήτριος καὶ ἐρρίφθη εἰς τὴν φυλακήν, μαθὼν ὅτι διδάσκει τὸν λαὸν τὴν Ὀρθόδοξον πίστιν, καὶ ἐκρατεῖτο δέσμιος ἐπὶ ἀρκετὸν καιρόν. Τελουμένων δὲ ἀγώνων κατὰ τὰς ἡμέρας ταύτας ἐν τῇ πόλει Θεσσαλονίκης, ἐκάθητο ὁ Μαξιμιανὸς ὡς θεατής, βάρβαρος δὲ Λυαῖος ὀνόματι φίλος καὶ ἐπίσημος τοῦ Βασιλέως, ἐπαιρόμενος, εἰς τὸ μέγεθος τοῦ σώματός του, εἰς τὴν ἀνδρείαν καὶ γενναιότητά του παρεκίνει τοὺς Θεσσαλονικεῖς, νὰ διαγωνισθοῦν μετ' αὐτοῦ νὰ πολεμήσουν. Ταῦτα βλέπων νεανίας τις ὀνόματι Νέστωρ ὑπῆγε εἰς τὸν Ἅγιον Δημήτριον εὑρισκόμενον ἐν τῇ φυλακῇ φίλος ὢν τοῦ Ἁγίου λέγει πρὸς αὐτόν. Δοῦλε τοῦ Θεοῦ, θέλω νὰ πολεμήσω μὲ τὸν Λυαῖον, καὶ παρακάλεσον τὸν Κύριον ὑπὲρ ἐμοῦ.

Ὁ δὲ Ἅγιος ἐσφράγισε τὸν Νέστορα τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ εἰς τὸ μέτωπον καὶ τοῦ εἶπε. Ὕπαγε καὶ τὸν Λυαῖον θέλεις νικήσει καὶ ὑπὲρ Χριστοῦ θέλεις μαρτυρήσει. Ὅθεν ἐκ τοῦ λόγου καὶ τῆς εὐχῆς τοῦ Ἁγίου Δημητρίου ἔλαβε θάῤῥος ὁ Ἅγιος Νέστωρ, καὶ ἐλθὼν εἰς τὸ στάδιον παῤῥουσιάσθη εἰς μονομαχίαν κατὰ τοῦ Λυαίου, ὅπου ἐθανάτωσεν αὐτὸν λαβὼν καιρίαν πληγὴν εἰς τὴν καρδίαν ὅπου τὸν ἀφῆκεν τὸν πρώην ὑπερήφανον καὶ μεγάλαυχον νεκρὸν ἐπὶ τῆς γῆς. Λέγων ὁ Ἅγιος Νέστωρ. Ὁ Θεὸς Δη-

μητρίου βοήθει μοι καὶ οὕτω πως ἠλευθερώθη ἡ πόλις Θεσσαλονίκη ἀπὸ τὸν ύραννον Λυαῖον.

Ἰδὼν ὁ Βασιλεὺς τὸ γεγονὸς τοῦτο ἐλυπήθη σφόδρα, μαθὼν δὲ καὶ τὸ γεγονὸς ὅτι εἰς εὐχὴν τοῦ Ἁγίου Δημητρίου, ἐνίκησεν τὰς ἐνέδρας τοῦ πολεμιστοῦ του Λυαίου διέταξεν, νὰ λογχεύσωσι μὲ λόγχαις τὸ σῶμα τοῦ Ἁγίου εὑρισκομένου μέσα εἰς τὰς φυλακάς, ἐπειδὴ παρεκίνησεν τὸν Ἅγιον Νέστορα εἰς τὸ τοιοῦτον διάβημα:

Ἀμέσως οἱ στρατιῶται ἐπῆγαν εἰς τὴν φυλακὴν νὰ ἐκτελέσουν τοῦ Βασιλέως τὴν διαταγήν, καὶ ὥρμησαν ὡς ἄγριοι λέοντες κατὰ τοῦ Ἁγίου, ὅπου ἄνοιξε ὁ μέγας ἀθλητὴς Δημήτριος τὸ στῆθος του καὶ ἔλαβε τὴν λογχὴν μέσα εἰς τὴν καρδίαν ἐκεῖ ὅπου ἐλογχίσθη καὶ ὁ Κύριος ἡμῶν ἐπὶ τοῦ Σταυροῦ, τὸν δὲ Ἅγιον Νέστορα τὴν ἄλλην ἡμέραν κατὰ διαταγὴν τοῦ Βασιλέως τὸν ἀπεκεφάλισαν, καὶ οὕτω ἔλαβον οἱ Ἅγιοι τοῦ Μαρτυρίου τὸν Οὐράνιον στέφανον.

Οὕτω πως ἔγεινεν ὁ θάνατος τοῦ Ἁγίου Δημητρίου, ὅπου μετὰ τὴν σφαγὴν ἔρριψαν τὸ ἀθλητικὸν σῶμα τοῦ μάρτυρος κατὰ γῆς. Τινὲς δὲ Χριστιανοὶ ἔχοντες εὐλάβειαν εἰς τὸν Ἅγιον ἐπῆραν καὶ τὸ ἐνεταφίασαν. Δοῦλος τοῦ Ἁγίου, Λοῦπος ὀνόματι, ἦτο παρὼν εἰς τὸ μαρτύριον τοῦ Ἁγίου λαβὼν αἷμα τοῦ μάρτυρος ἐπάνω εἰς τὸ ἐπανωφώριόν του, καὶ ἕνα δακτυλίδιον ὅπου εἶχε



ὁ Ἅγιος, ἔκαμε πάμπολα θαύματα, ὅπου ἔλαβεν μεγάλη φήμη ἡ πόλις Θεσσαλονίκη, ἐκ τῶν καθημερινῶν θαυμάτων τοῦ Ἁγίου.

Ὅθεν μαθὼν ὁ Βασιλεὺς τοῦτο συλλαμβάνει τὸν καλὸν δοῦλον τοῦ Ἁγίου καὶ ἀμέσως διέταξε τὴν ἀποκεφάλισίν του, καὶ ἔλαβε καὶ αὐτὸς τὸν ἀθλητικὸν στέφανον τοῦ Μαρτυρίου, δοξάζοντες τὸν Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὴν τρισυπόστατον θεότητα, καὶ τῆς εὐχῆς τοῦ Μεγαλομάρτυρος Δημητρίου καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

Κοντάκιον Ἦχος Πλ. Δ΄. Τῇ ὑπερμάχῳ.

Τῷ Μυροβλήτῃ τοῦ Χριστοῦ τὰ νικητήρια. Ὡς τροπαιούχῳ οἱ πιστοὶ τὰ ὑμνητήρια Ἀναμέλπωμεν Δημήτριε οἱ σοὶ δοῦλοι. Ἀλλ' ὡς ἔχων παρρησίαν πρὸς τὸν Κύριον. Ἐκ παντοίων ἡμᾶς ἀπάλλαξον κακώσεων.

Ἵνα κράζομέν σοι χαῖρε μάρτυς Δημήτριε.

Ἄγγελοι ἀοράτως ἔστεφαν τοὺς ἀγῶνας, οὓς ὑπὲρ Χριστοῦ ἔτλης παμμάκαρ. (ἐκ Γ΄.)

Καὶ στέφαντες τὴν θείαν κορυφήν σου, ἐκρότησαν τοὺς ἄθλους δι' ὧν περ ὡς χρυσὸς ἐν καμίνῳ ἐδοκιμάσθης, ὅθεν ἀκούεις:

Χαῖρε ἀσεβοῦς τυράννου τὸ τραῦμα. Χαῖρε εὐσεβοῦς λαοῦ ἥδιστον ᾆσμα. Χαῖρε τῶν μαρτύρων ἔκλαμπρος στρατηλάτης. Χαῖρε τῶν Ἀγγέλων ἔξοχος συμπολίτης. Χαῖρε βάθος θείας γνώσεως

ἀκατάληπτον πόλλος. Χαῖρε ὕψος καθαρότητος, δυσανάβλεπτον βροτοῖς. Χαῖρε ὁ Μυροβλήτης τῶν Ἁγίων Μαρτύρων. Χαῖρε ὁ ὑπερόπτης τῶν γηΐνων φροντίδων. Χαῖρε ἀστὴρ λάμπων τῆς πέρασι Χαῖρε φωστὴρ φωτίζον ὑφήλιον. Χαῖρε δι' οὗ ἐδοξάσθη ἡ πίστις. Χαῖρε δι' οὗ προσκυνεῖται ὁ πλάστης. Χαῖρε μάρτυς Δημήτριε.

Βλέμματί σου εὐσπλάχνῳ, καὶ ἱκέτιδας χεῖρας πρὸς τὸν σὸν ἄρον Δεσπότην μάκαρ, ὑπὲρ ἡμῶν ἐκτενῶς ἱκετεύων, ἵνα πλημμελημάτων, διὰ σοῦ λυτρωθῶμεν μελῳδοῦντες ἐπαξίως πρὸς Κύριον τὸν ὕμνον 'Αλληλούϊα.

Γνῶσιν ἄγνωστον γνώσας, Δημήτριος ὁ μέγας ἐκήρυττε τὸν Χριστὸν πρὸς τὰ πλήθη. Υἱὸν εἶναι τοῦ Θεοῦ τῶν αἰώνων, ὑπὲρ πάντων πεποθότα διὸ οἱ φωτισθέντες πρὸς αὐτὸν ἐβόων.

Χαῖρε λαμπτὴρ ἀπορρήτου φάους. Χαῖρε ἀκτὶς δυσνοήτου αἴγλης. Χαῖρε τῶν περάτων τοῦ κόσμου διδάσκαλος. Χαῖρε τῶν λογίων Χριστοῦ ὁ εἰσάγγελος. Χαῖρε ἄστρον ἐπουράνιον χέον λάμψιν ἐπὶ γῆς. Χαῖρε γέφυρα μετάγουσα τοὺς βροτοὺς ἐν οὐρανοῖς, Χαῖρε τὸ τῶν ἀγγέλων περιλάλητον χάρμα. Χαῖρε τὸ τῶν ἀνθρώπων πολυκρότητον ᾆσμα. Χαῖρε ὁ τὸν 'Ιησοῦν Χριστὸν ἀγαπήσας. Χαῖρε ὑπὲρ αὐτοῦ γενναίως ἀθλήσας. Χαῖρε πρηστὴρ ὀλεθρίου ἀπάτης. Χαῖρε πληγὴ δεισιδαίμονος πλάνης. Χαῖρε μάρτυς Δημήτριε.



Δοῦλος ὢν τοῦ Ὑψίστου, ἀπεδείχθης καὶ Μάρτυς, εὑρὼν γὰρ τὸν ἐκλεκτὸν μαργαρίτην, δι' αἵματος ὠνήσω προέκρινας σοφέ, καὶ ἐβόας ἅπασι Χριστὸς ἐμοὶ δόξα χαρὰ καὶ εὐφροσύνη πρὸς ὃν ψάλλω 'Αλληλούϊα

Ἔχων ἐν τῇ ψυχῇ σου τὸν Χριστὸν ἐνοικοῦντα καὶ τὴν πρὸς τοὺς πέλας συμπάθειαν, διδάσκων ἔλεγες· Χριστὸς μερὶς τῶν πιστωτῶν αἰώνιος πλοῦ-ἀκένωτος, στέφανος ἀμάραντος, δι' ὃ σοι μελῳδοῦμεν.

Χαῖρε Χριστοῦ τοῦ Σωτῆρος κλῆμα. Χαῖρε στρατοῦ φιλοχρήστου κτῆμα. Χαῖρε σταφυλὰς αἱματοβρέκτους ἐκφέρων. Χαῖρε τὰς ῥοὰς τῶν μύρων ἡμῖν ἐκχέων. Χαῖρε ἴκμα τοῦ Πνεύματος καὶ χαρίτων παροχεύς. Χαῖρε τράπεζα ἡ φέρουσα ἐρασμίως τὸν Χριστόν. Χαῖρε ὅτι τὰ μύρα τοῖς πιστοῖς ἀναβρύεις. Χαῖρε ὅτι τὰ ἰάματα τοῖς νοσοῦσι χαρίζεις Χαῖρε τῶν σὲ τιμώντων βοήθεια. Χαῖρε τῶν ἀγνοούντων ἀλήθεια. Χαῖρε πολλῶν ἀπόρων τὸ πόρισμα. Χαῖρε πρὸς τὸν Χριστὸν ἡμῖν εἴσοδος Χαῖρε μάρτυς Δημήτριε.

Ζῆλον ἔνδοθεν ἔχων, λογισμῶν ἐρασμίων σωφροσύνη καὶ παρθενίαν παρήσας διὸ φαεινὰς λαμπάδας μεθ' ὧν ἐξῆλθες εἰς ἀναζήτησιν τοῦ σοῦ Σωτῆρος· ψάλλων αὐτῷ τὸν αἶνον μετὰ πόθου. 'Αλληλούια.

Ἤκουσαν οἱ διῶκται τὴν πρὸς τὸν Σωτῆρα

σου ἀγάπην καὶ πίστιν τὴν ἀκλόνητον, ἐμμανεῖς γενόμενοι, ἐφρύαξαν κατὰ σοῦ καὶ βάσανα καὶ τιμωρίας σκεπτόμενοι, εἱρκτῇ σὲ καθεῖρξαν διὸ ἀκούεις.

Χαῖρε φωστὴρ δέσμευσις τελεία. Χαῖρε πληγὴ τυράννου καιρία. Χαῖρε ἀοράτων ἐχθρῶν δεσμευτήριον. Χαῖρε χριστωνύμου λαοῦ ὑμνητήριον. Χαῖρε ὅτι ἔψαλλες μετὰ Ἀγγέλων ἐν εἱρκτῇ. Χαῖρε ὅτι κατεπάτησας τὸν σκορπιὸν ἐν αὐτῇ. Χαῖρε Σωτῆρος Χριστοῦ ἀληθέστατον στόμα. Χαῖρε Ἐκκλησίας αὐτοῦ ἐπινίκιον ᾆσμα. Χαῖρε λαμπρὸν τῆς χάριτος ὄχημα. Χαῖρε τερπνὸν τῆς Τριάδος οἴκημα. Χαῖρε δι' οὗ τύραννος ἐθορυβήθη. Χαῖρε δι' οὗ δαίμων ἐποδοπατήθη. Χαῖρε μάρτυς Δημήτριε.

Θεοὺς ἑλλήνων ματαίους θεωρήσας ὁ μάρτυς, νηπιόθεν ἐκ γονέων τοῦ Χριστοῦ ἀγαπήσας ἐμυκτήρισε τούτων τὴν πλάνην, τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος ἢ Χριστῷ πρὸς βελιὰρ φάλλων. Ἀλληλούϊα.

Ἰδόντες παῖδες Ἑλλήνων ἐν χερσὶ Δημητρίου, τὴν ἄμαχον δύναμιν τοῦ Σωτῆρος καὶ Δεσπότην τοῦ παντὸς νοήσαντες Αὐτὸν προσήρχοντο φωτιζόμενοι, καὶ μέλποντες τῷ Μάρτυρι τοιαῦτα μετὰ πόθου.

Χαῖρε ἀθλοφόρε μυρόροα. Χαῖρε μυροβλύτα Χριστόφερε. Χαῖρε τοῦ τυράννου ἐλέγξας τὸ μά-



τα'ον. Χαῖρε τῆς Τριάδος κηρύξας μυστήριον. Χαῖρε ὅτι ἐμίσησας τύραννον Μαξιμιανόν. Χαῖρε ὅτι ἠγάπησας μέχρις αἵματος τὸν Χριστόν. Χαῖρε τῶν βασάνων καταφρονήσας τελείως. Χαῖρε ὁ νυγεὶς τὴν πλευρὰν ὡς ὁ Δεσπότης. Χαῖρε ὁ στεφθεὶς ὑπ' αὐτοῦ τοῦ ἀθλοθέτου. Χαῖρε ἀμνοῦ καὶ ποιμένος τὸ θρέμμα. Χαῖρε λαοῦ χριστωνύμου τὸ κέρας. Χαῖρε μάρτυς Δημήτριε.

Κύρηκες λαμπεφόρ ι, γεγονότες οἱ μῦσται τῶν σῶν ἀγωνισμάτων, Νέστωρ ὁ ὑπὸ σοῦ ἐνισχυθείς, καὶ Λοῦπος ὁ στήρας ρεῦμα τὸ ποτάμιον· ἀφέντες τὸ σκότος ἔμαθον λέγειν. Ἀλληλούϊα

Λάμψαντες ἐν τῷ κόσμῳ, τοῦ φωτὸς τοῦ ἀδύτου, ἐν τῇ καρδίᾳ σου ἔλαμψε φωτὸς ἀκτῖνα, ὡς δοχεῖον χάριτος δεκτικὸν ἀθλοφόρε· ὡς ἀστὴρ δὲ ἐφάνης τοῖς ἐν σκότει, καὶ φωτισθέντες μελωδοῦσί σου

Χαῖρε χειραγώγησις τῶν ἐν σκότει. Χαῖρε φωταγώγησις τῶν ἐν πλάνῃ τοῦ κόσμου. Χαῖρε πυρσὲ τῶν ἐν ζάλῃ βιούντων. Χαῖρε ἰατρὲ τῶν ἐν πενίᾳ νοσούντων. Χαῖρε ἄστρον τὸ λαμπρότατον Ἐκκλησίας τοῦ Χριστοῦ. Χαῖρε ρήτωρ καὶ διδάσκαλος ἀληθείας φωταυγοῦς. Χαῖρε Θεσσαλονίκης ὁ πολιοῦχος. Χαῖρε τῶν ἀθλοφόρων ὁ τροπαιοῦχος. Χαῖρε ὁ τερπνὸς κῆρυξ τοῦ Λόγου. Χαῖρε ὁ βλαστὸς τῶν εὐσεβῶν γεννητόρων. Χαῖρε δι' οὗ Μακεδονία καυχᾶται. Χαῖρε δι' οὗ πληθὺς

πολεμίων τροποῦται. Χαῖρε Μάρτυς Δημήτριε.

Μύροις ὦ Μυροβλῆτα, ἡ τοῦ Πνεύματος, χάρις, ἐκενώθη σοι πλήρης καὶ μυρορόου ἅπαν τὸ σὸν σοὶ ἀπέδειξε σκῆνος τὸ σεπτόν. ἡ δὲ λάρναξ τελεία μυροθήκη· διόπερ ἐκπλαγέντες ᾄδομεν : Ἀλληλούϊα.

Νέον φυτὸν ἐδείχθης εὐσεβούντων γονέων, καὶ Χριστὸν ὁλοψύχως λατρευόντων, διὸ προθύμως ἡ σὴ καρδία ἐδέξατο τὸν τῆς εὐσεβείας, τὸν σπόρον, καὶ εἰς πολλὰ καρποφορήσασα ἀπέδοτό σοι μάκαρ Χαῖρε τὸ ἔαρ τῆς εὐσεβείας. Χαῖρε τὸ πέρας τῆς ἀσεβείας· χαῖρε ἀναπλάσεως τὸν τύπον ἐμφαίνων· χαῖρε ἀναστάσεως εἰκόνα δεικνύων· χαῖρε ἡ θεόγραφος πλὰξ τῶν τοῦ Χριστοῦ μακαρισμῶν· χαῖρε δένδρον τὸ πολύτιμον καρποφόρων ἀρενῶν· χαῖρε ὁ δᾳδοῦχος ἀθλητῶν ἡ τερπνότης· χαῖρε ὁ τροπαιοῦχος ἡμῶν δὲ ἀκρότης· χαῖρε στεφηφόρε Χριστοῦ Δημήτριε· χαῖρε τοῦ πάθους αὐτοῦ ζηλωτής· χαῖρε στοργὴ τῶν πτωχῶν καὶ πενήτων· χαῖρε τροφὴ ὀρφανῶν καὶ ἀπόρων· χαῖρε μάρτυς Δημήτριε.

Ξένον τόκον κατεῖδες, θείας τρίβους ἐν γνώσει, ἐξενώθης τοῦ κόσμου, καὶ τὸν νοῦν πρὸς Αὐτὸν ἐκτείνας· ἅπαντα ὡς σκύβαλα λελόγισαι· διὸ ἐδείχθης καὶ μιμητὴς τοῦ πάθους τούτου μελωδῶν ἀγγελικῶς. Ἀλληλούϊα.

Ὅλον τὸν νοῦν ὑψώσας, ψυχὴν ἅμα καὶ πνεῦμα,



τελεία ἀγάπη ἀγαπήσας τὸν Λόγον πρὸς ὃν ὅλος πύρινος γέγονας, ὡς Μάρτυς δὲ ἀήττητος καὶ Μυροβλύτης θεῖος ἀκούεις.

Χαῖρε Χριστοῦ ὁ μανιακὸς ἔρως· χαῖρε Σταυροῦ ἐθελούσιος πόθος· χαῖρε τῶν ἀπίστων ἀμφίστομος μάχαιρα. χαῖρε τῶν πιστῶν ἀξιέπαινον καύχημα· χαῖρε Νέστορος διδάσκαλος πρὸς στεφάνους ἀληθεῖς· χαῖρε κῆρυξ θείας χάριτος θεανθρώπου ἀθλητής· χαῖρε τοῦ Λυκίου ὁ ταχὺς ἀναιρέτης· χαῖρε τῶν εἰδώλων ὁ ὀξὺς καθαιρέτης· χαῖρε δι' οὗ ἡ ἀλήθεια ἔλαμψε· χαῖρε τοῦ ἀληθοῦς φωτὸς ἀκτῖνα. χαῖρε τοῦ ἀπλανοῦς ἰδὼν εἰκόνα· χαῖρε μάρτυς Δημήτριε.

Πᾶσα φύσις Ἀγγέλων ἐπευφήμησέ σε μάκαρ, τῆς σῆς ὁμολογίας τὴν χάριν καὶ στεφάνοις στέψαντες τοὺς θείους ἀγῶνας σου, ἐδόξασαν τὸν δόντα σοι, τοιαύτην νίκην, ψάλλοντες Θεῷ τὸν ὕμνον. Ἀλληλούϊα.

Ῥήτωρ ὢν θεολόγος, καὶ χριστολόγος ἅμα, ἐδείχθης ὦ Δημήτριε μάρτυς. Χριστὸν γὰρ τὸν τοῦ Θεοῦ Υἱόν, υἱοῦ ἀνθρώπου γέγονας πνεύματος Ἁγίου καὶ μητρὸς Παρθένου, τέλειος κατ' ἄμφω διὰ τὸν ἄνθρωπον φανέντα, διό σοι μελῳδοῦμεν.

Χαῖρε θεολογίας ταμεῖον· χαῖρε θείου πνεύματος δοχεῖον· χαῖρε ὁ πῦρ πνέων ὑπὲρ πίστεως θείας· χαῖρε ὁ φλόγας δίδων κατὰ ἀσεβείας· χαῖρε ὅτι ἐφιμώθησαν οἱ εἰδώλων ζηλωταί· χαῖρε ὅτι ἐμα-

ράνθησαν οἱ δαιμόνων λατρευταί· χαῖρε τῶν σωτηρίων ἀρχῶν ὁ δεσμοφύλαξ· χαῖρε τῶν Ἀποστολικῶν λογίων ὁ κῆρυξ· χαῖρε φωνὴ αἵματος κράζουσα· χαῖρε Ἄβελ σῶμα πυρίπνοον· χαῖρε καινῆς διαθήκης ὁ μάρτυς· χαῖρε τοῦ πιστοῦ λαοῦ ὁ προστάτης. Χαῖρε μάρτυς Δημήτριε.

Σῶμα τὸ σὸν Μυροβλῆτα, μυροθήκην εἰργάσω, καὶ παντοδαπῶν τοῦ πνεύματος, χαρίτων ἀνάμεστον, ἰάσεων ταμεῖον, τοῖς μετὰ πόθου προσιοῦσι τῇ σῇ λάναρκι βοῶντες τῷ Κυρίῳ τὸν αἶνον. Ἀλληλούϊα

Τάφος καὶ τέλος ἡ εἱρκτή, τοῦ ἐν πολλαῖς λόγχαις, κληρωσαμένου σου σώματος, τὸ βαλανεῖον ἐγένετο, ὅν καὶ νῦν ἔτι μένει καὶ φυλάσσει γὰρ Κύριος τὰ τῶν δούλων αὐτοῦ ὀστέα, καὶ πρὸς ἰατρεῖον ἄμισθον τοῖς ᾄδουσι. Χαῖρε ἡ στήλη τῆς εὐσεβείας· χαῖρε ἡ λάμψις τῆς ἀληθείας χαῖρε λογχονύκτου πλευρᾶς τὸ ἐκτύπωμα· χαῖρε αἱματόφυτον σῶμα ἁγίασμα· χαῖρε ὅτι συνεχώρησας πρὸς τὰ πάθη εὐθαρσῶς· χαῖρε ὅτι ἔσχες τὸν Χριστὸν ἐν τοῖς ἄθλοις βοηθόν· χαῖρε ὁ ἐκ πενίας διασώσας τὴν πόλιν· χαῖρε σῶμα πολλαῖς λόγχαις τετρωμένον· χαῖρε βρύσις ἰαμάτων κεκτημένον· χαῖρε καλὲ νεανία παρθένε· χαῖρε τερπνὲ στρατιῶτα Κυρίου. Χαῖρε μάρτυς Δημήτριε.

Ὕψος, βάθος, μῆκος καὶ πλάτος, τέσσαρσιν ἀρεταῖς περιστιχούμενος, ὡς ἐν κυβικῷ τετραγώνῳ, ἀκλόνητος ἐν πᾶσιν ἐδείχθης, οἷς ὑπέστης τεθεμελίωσο καὶ γὰρ ἐπὶ τὸν ἀκρογωνιαῖον λίθον μέλπων. Ἀλληλούϊα



Φωτοδόχον δοχεῖον, καὶ μυροθήκην Ἁγίαν, καὶ οἴκημα τοῦ Πνεύματος, ὁρῶμεν Μυροβλῆτα τὸ σὸν πολύτρωτον σῶμα, ὃ ἀπέκρυψε καὶ τάφῳ φοβήσας διὰ φλογὸς τοὺς τολμητίας· κόνιν δὲ νέμων τοῖς βοῶσι· χαῖρε πηγὴ αἱμοδόρου πλάνης· χαῖρε στερρὸν τῆς πίστεως ἔρεισμα, χαῖρε σαθρᾶς πλάνης ἀπώλεια· χαῖρε πολλάκις σώσας συμπολίταις Θεσσαλονικεῖς, χαῖρε ποικιλοτρόπως τούτους πάντοτε συμβοηθεῖς· χαῖρε ἀπουσίαις σου ἐκ ταύτης δηλώσας τὸν τρόπον· χαῖρε μετὰ Ἀχιλλείου ἱεράρχου φανεὶς ἐν τῷ τόπῳ· χαῖρε αἰχμάλωτον θύτην ὁ σώσας· χαῖρε ἐφ' ἵππου τοῦτον ὁ βαστάσας· χαῖρε Μαξιμιανοῦ ἄλγος καὶ τραῦμα· χαῖρε Μανουὴλ καὶ Ἰωσὴφ τὸ χάρμα· χαῖρε μάρτυς Δημήτριε.

Χάριν δοῦναι θελήσας, Μυροβλῆτα γενναῖε, πάντων τῶν πιστῶς πρό σε ἐρχομένων, καὶ τοῦ μύρου σου τὴν χάριν, καὶ τὴν συμπάθειαν παράσχου τούτοις, δεόμενος ἐκτενῶς τῷ Κυρίῳ σου, καὶ ψάλλων μετ' Ἀγγέλων Ἀλληλούϊα.

Ψάλλοντές σου τοὺς οἴκους, ἀνυμνοῦμεν σε Μάρτυς ὡς ἄνθρωπον ὑπὲρ Χριστοῦ ἀθλήσαντα καὶ ὑπ' αὐτοῦ δοξασθέντα· ἡμεῖς δὲ οἱ μυρίοις

κλυδωνιζόμενοι πάθεσι λιτάζομέν σε λίποντες τοιαῦτα· χαῖρε Ναὲ τοῦ Θεοῦ καὶ ζῶντος· χαῖρε βλαστὲ υἱοῦ Πρωτοτόκου· χαῖρε ἀθλητὰ πορφυρωμένε αἵματι· χαῖρε μυρεψὲ λελαμπρυσμένε πνεύματι· χαῖρε ἐπάξιον ἐκτύπωμα τοῦ Ἰησοῦ Χριστοῦ· χαῖρε τίμιον ἀγλάϊσμα εὐσεβοῦς χριστιανοῦ· χαῖρε τῆς Ἐκκλησίας φαεινότατος στύλος· χαῖρε τῆς εὐσαβείας τὸ ἀκλόνητον κράτος· χαῖρε δι' οὗ οἱ Ἄγγελοι χαίρουσι· χαῖρε δι' οἱ δαίμονες ἥττηνται· χαῖρε ἡμῖν ὁ πρέσβυς καὶ ῥύστης· χαῖρε καὶ ἀεὶ στεφανῖτα Κύριον· χαῖρε μάρτυς Δημήτριε.

Ὦ Δημήτριε μάρτυς ! τοῦ Ἰησοῦ Χριστοῦ γνησιώτατε φίλε καὶ ἡμῶν προστάτα (ἐκ Γ.) δεξάμενος τοῦ ὑμνωδοῦ τοὺς οἴκους τούτους, ῥῦσαι συμφορᾶς, αὐτόν τε καὶ τοὺς πιστοὺς ἅπαντας καὶ αἰωνίου λύτρωσαι κολάσεως τοὺς συμμελωδοῦντας. Ἀλληλούϊα.

Κοντάκιον Ἦχ. Πλ. Δ'. Τῇ Ὑπερμάχῳ

Τῷ Μυροβλήτῃ τοῦ Χριστοῦ τὰ νικητήρια.
Ὡς τροπαιοῦχον οἱ πιστοὶ τὰ ὑμνητήρια.
Ἀναμέλπομεν Δημήτριε οἱ σοὶ δοῦλοι.
Ἀλλ' ὡς ἔχων παρρησίαν πρὸς τὸν Κύριον.
Ἐκ παντοίων ἡμᾶς ἀπάλλαξον κακώσεων.
Ἵνα κράζωμέν σοι : Χαίροις μάρτυς Δημήτριε.



**Μακαριστήρια εἰς τὸν Ἅγιον Δημήτριον**

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, Δημήτριε πολύτλα.

Λόγχῃ κατετρώθης πλευρὰν τὴν μακαρίαν, ὡς ὁ Δεσπότης, μάρτυς.

Την οἰκουμένην μάρτυς, ἐπλήρωσας θαυμάτων, Δημήτριε παμμάκαρ.

Μύρα ἀναβλύζεις ἐκ τῆς πλευρᾶς σου μάρτυς, τῇ λόγχῃ κεντηθείσης.

Λόγχαις κατετρώθης πλευρὰν ὡς ὁ Δεσπότης, Δημήτριε τρισμάκαρ.

Τὴν ἔπαρσιν καθεῖλες τοῦ ἄφρονος Λυαίου, τὸν Νέστορα θαρύνας.

Ἐθάρρυνας σφραγίσας τὸν Νέστορα σταδίῳ, τύπῳ Σταυροῦ τοῦ θείου.

Ἔλαβες τὴν χάριν θαυμάτων παραδόξων παρὰ Κυρίου μάρτυς.

Ὦ μυροβλῆτα θεῖε, Δημήτριε λιταῖς σου φρούρει τοὺς σὲ τιμῶντας.

Δημήτριε πολύτλα, κινδύνων ῥῦσαι πάντας τοὺς σὲ ὑμνολογοῦντας.

Ἡ οἰκουμένη μάρτυς, ὑπέρμαχον σε μέγαν εὕρητο ἐν κινδύνοις.

Τιμῶμεν μυροβλῆτα, τὴν μνήμην σου ἐν ὕμνοις Χριστὸν δοξολογοῦντες.

Εἰκόνισας τὸ πάθος τοῦ Ζωοδότου μάρτυς, τῇ λόγχῃ τῆς πλευρᾶς σου.

Ἡ Ἐκκλησία χαίρει, Δημήτριε σῆς μνήμης, Χριστὸν ὑμνολογοῦσα.

Προσκυνοῦμεν πόθῳ, τὴν σὴν εἰκόνα μάρτυς, εἰς τύπον τῆς μορφῆς σου.

Μὴ παύσῃς μυροβλῆτα Χριστῷ καθικετεύων ὑπὲρ ἡμῶν σῶν δούλων.

Μυροβλῆτα θεῖς, Δημήτριε εὐχαῖς σου, ῥῦσαι ἡμᾶς γεένης. Δόξα

Ὦ Τριὰς ἁγία, εὐχαῖς τοῦ Δημητρίου, σῶζε πάντα τὸν κόσμον. Καὶ νῦν

Πανύμνητε Παρθένε, μετὰ τοῦ Μυροβλήτου, ὑπὲρ ἡμῶν δυσώπει.

Ἐν Ἑρμουπόλει Σύρου ἔτος 1865 εὑρίσκεται εἰς χεῖρας μου Γ. Α. Βουτέρης ἱερεύς.

**Εὐχὴ εἰς τὸν Μεγαλομάρτυρα Δημήτριον**

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, προαιώνιε Λόγε τοῦ Θεοῦ καὶ Πατρός, ὁ διὰ τῆς χάριτός σου ἐμπνεύσας ἐν τῇ ψυχῇ τοῦ ἐνδόξου μάρτυρος Δημητρίου, εὐστάθειαν, τοῦ ἀνδρείως καθυπομεῖναι ἐν πηλίνῳ σώματι τὰς τῶν τυράννων σφοδρὰς βασάνους διὰ τὸ ὄνομά σου, ἐνίσχυσον δεόμεθά σου καὶ ἡμᾶς, ἵνα δυνηθῶμεν καρτερῶς ὑπομένειν τοὺς διὰ τὰς ἁμαρτίας ἡμῶν γενομένους ἡμῖν πειρασμούς, καὶ παντοδαπὰς ἀπειλὰς τοῦ διαβόλου· καὶ καθάπερ τότε καταργήσας τῇ δυνάμει σου δι' αὐτοῦ, τὰς ἐπινοίας τῶν παρανόμων, ἐχαροποίησας τὰ τῶν Ἀγγέλων τάγματα,



οὕτω καὶ νῦν αὐτοῦ πρεσβεύοντες, εὔφρανον τὰς ψυχὰς ἡμῶν, ρυσάμενος ἡμᾶς τῆς ἐπικειμένης ἡμῖν πρὸ πολλοῦ πικρᾶς τυραννίας ὅπως ἂν καὶ ἡμεῖς οἱ ταπεινοί σου οἰκέται, εἰρηναίαν ζωὴν ἄγοντες, καὶ τὴν ἐτήσιον μνήμην αὐτοῦ ἐπιτελοῦντες, καταξιωθῶμεν τῷ ἐλέει σου εὐαρεστῆσαί σοι. Πρεσβείαις τῆς Παναχράντου σου, τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλήτου, τοῦ Ἁγίου μάρτυρος Νέστορος καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπολυτίκιον Ἁγ. Νέστορος. Ἦχ. δ'. Ὁ μάρτυς σου Κύριε... Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

**Ἀθλήσας καλῶς, ἀθάνατον τὴν εὔκλειαν, κεκλήρωσαι νῦν καὶ στρατιώτης ἄριστος, τῷ Δεσπότῃ γέγονας, ταῖς εὐχαῖς σου Δημητρίου τοῦ μάρτυρος. Σὺν αὐτῷ οὖν Νέστωρ σοφέ, πρεσβεύων μὴ παύσῃς ὑπὲρ πάντων ἡμῶν.**

Μεγαλυνάριον.

**Νέστορα τὸν μάρτυρα τοῦ Χριστοῦ καὶ τὸν στρατιώτην Δημητρίου τοῦ ἀθλητοῦ, τῆς Θεσσαλονίκης, τὰ ἔκλαμπρα τεκνία, σὺν Γλύκῳ Λεπτίνῃ. καὶ τῇ Καπιτωλίνῃ ὑπὲρ ἡμῶν Κυρίῳ πρεσβεύσατε.**

28 Ὀκτωβρίου. Τῶν Ἁγίων μαρτύρων Τερεντίου, Νεονίλης, Σαρβύλου, Νιτᾶ, Ἱέρακος, Θεοδούλου, Φωτίου, Βήλη, Εὐνίκης, Ὁσίου Στεφάνου καὶ 4

νεομαρτύρων τῶν ἐν Κρήτῃ, Γεωργίου, Ἀγγελῆ, Μανουὴλ καὶ Νικολάου.

Ἀπολ. τῶν Μαρτύρων. Ἦχ. δ'. Οἱ Μάρτυρές σου Κύριε. Τοῦ Ὁσίου ἦχ. πλ. δ'.

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, Ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Στέφανε σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ πνεύματος· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Τῶν Νεομαρτύρων. Ἦχος γ'.

Τὴν καλλιμάρτυρα Κρήτην τιμήσωμεν, τὴν ἐξανθήσασαν, καὶ νέους μάρτυρας, Γεώργιον Ἀγγελῆ Μανουὴλ καὶ Νικόλαον. Τέσσαρες γὰρ ὑπάρχοντες, καὶ τῆς Λάμπης οἱ ἥρωες, δύναμιν μυρίοπλον τῶν τυράννων κατῄσχυναν· διὸ καὶ τοὺς στεφάνους ἐδέξαντο, ἐν τῇ Ρεθύμνῃ σφαγέντες, μάρτυρες Χριστοῦ οἱ καρτερόψυχοι.

Κοντάκιον Ἁγίου Στεφάνου ἦχος δ'. Ὁ ὑψωθεὶς

Καταφυτεύσας ἀρετῶν τὸν Παράδεισον, καὶ καταρδεύσας ταῖς ῥοαῖς τῶν δακρύων, ὡς τῆς ζωῆς Πανένδοξε τοῦ ξύλου τυχών, σῶσον· ἱκεσίαις σου, ἐκ φθορᾶς τὴν σὴν ποίμνην· ῥῦσαι περιστάσεως, τοὺς θερμῶς σε τιμῶντας· σὲ γὰρ προστάτην μέγιστον σοφέ, ἐν πίστει καὶ πόθῳ κεκτήμεθα.

Κοντάκ. τῶν Μαρτύρων. Ἦχος α'. Χορὸς ἀγγελικὸς

Μαρτύρων τοῦ Χριστοῦ, τὴν τετράρυθμον δόξαν, ὑμνήσωμεν πιστοί, εὐφημίαις ᾀσμάτων, Ἀγγελῆν Γεώργιον, Μανουὴλ καὶ Νικόλαον, οὗτοι ἤθλησαν, μέχρι τομῆς καὶ θανάτου, οὗτοι στέφανον, τῆς ἀφθαρσίας λαβόντες, αἰτοῦσι σωθῆναι ἡμᾶς.



Μεγαλυνάριον

Τοὺς γενναίους Μάρτυρας τοῦ Χριστοῦ, τέσσαρας ἐν Κρήτῃ, ὑπομείναντας καρτερῶς, τυράννων βασάνους, καὶ χύσιν αἱμάτων, ἐν ὕμνοις ἐγκωμίων πίστει τιμήσωμεν.

Ἀκολουθία τῶν Νεομαρτύρων τῶν ἐν Κρήτῃ Ἀθῆναι 1877.

29. Ὁσιομάρτυρος Ἀναστασίας τῆς Ρωμαίας, τοῦ Ὁσίου Ἀβραμίου καὶ Μαρίας τῆς ἀνεψιᾶς αὐτοῦ.

Ἀπολυτίκιον τῆς Ἁγίας ἦχ. πλ. α'.

Τὴν φερώνυμον νύμφην τοῦ ἀναστάντος Χριστοῦ, Ἀναστασίαν τὴν θείαν Παρθενομάρτυρα νῦν, ὡς τῶν Παρθένων καλλονὴν ἀνυμνήσωμεν· ὅτι Θεὸν τὸν Ἰησοῦν, τῷ τυράννῳ εὐθαρσῶς, ἐκήρυξε, καὶ μυρίοις βασάνοις ἐσφαγιάσθη, καὶ γηθοσύνως συμβασιλεύει Χριστῷ.

Δόξα τοῦ Ὁσίου ἦχ. πλ. δ'.

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν Σταυρὸν ἠκολούθησας τῷ Χριστῷ. καὶ πράττων ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκὸς παρέρχεται γάρ ἐπιμελεῖσθαι δὲ ψυχῆς πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὅσιε Ἀβράμιε τὸ πνεῦμά σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Κοντάκιον Ἁγίας ἦχ. γ'. Ἡ Παρθένος σήμερον.
Παρθενίας νάμασι, καθηγνισμένη Ὁσία, μαρτυρίου αἵμασιν, Ἀναστασία πλησθεῖσα παρέχεις τοῖς ἐν ἀνάγκαις τῶν νοσημάτων, ἴασιν καὶ σωτηρίαν τοῖς προσιοῦσιν ἐκ καρδίας ἰσχὺν γὰρ νέμει, Χριστὸς ὁ βρύων χάριν ἀένναον.

Κοντάκιον ὁσίου Ἀβραμίου ἦχ. γ'. ὅμοιον.
Ἐν σαρκὶ ὡς Ἄγγελος ἐπὶ τῆς γῆς ἀνεδείχθης, καὶ ἀσκήσει γέγονας, πεφυτευμένος ὡς φοῖνιξ, ὕδατι τῆς ἐγκρατείας κατατρυφήσας, ρεύμασι τῶν σῶν δακρύων ῥύπον ἐκπλύνας· διὰ τοῦτο καρποφόρος, θαυμάτων ὤφθης θεῖε Ἀβράμιε.

Μεγαλυνάριον
Τὴν Ὁσιομάρτυρα καὶ Ἁγνὴν νύμφην τοῦ Δεσπότου, τὴν σφαγεῖσαν ὑπὲρ Χριστοῦ, τιμήσωμεν πάντες, ἀπὸ ψυχῆς βοῶντες, Ἀναστασία πάντας λυταῖς σου φύλαττε.

30. Τῶν Ἁγίων μαρτύρων Ζηνοβίου καὶ Ζηνοβίας τῶν αὐταδέλφων. Ἀπολ. τῶν Μαρτύρων ἦχ. δ'.
Οἱ μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν στεφάνους ἐκομίσαντο, τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν, ἔχοντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση, αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον ἦχ. πλ. δ'. Ὡς ἀπαρχὰς τῆς φύσεως
Τοὺς ἀληθείας Μάρτυρας καὶ εὐσεβείας κήρυκας, τῶν ἀδελφῶν τὴν δυάδα τιμήσωμεν, ἐν



θεοπνεύστοις ᾄσμασι, τὸν Ζηνόβιον ἅμα τῇ σοφῇ Ζηνοβίᾳ, ὁμοῦ βιώσαντες, καὶ διὰ μαρτυρίου δεξαμένους στέφος ἄφθαρτον.

Μεγαλυνάριον
Χαίροις τῶν Μαρτύρων σεπτὴ δυάς, Ζηνόβιε μάκαρ, Ζηνοβία ἡ ἐκλεκτή, στηρίξαντες τὴν πίστιν, τῇ χύσει τῶν αἱμάτων, ὑπὲρ ἡμῶν Κυρίῳ ἀεὶ πρεσβεύσατε.

31. Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν 70 Στάχυος, Ἀπελλοῦ, Ἀμπλίου, Οὐρβανοῦ, Ἀριστοβούλου μάρτυρος Ἐπιμάχου καὶ Ὁσιομάρτυρος Νικολάου. Ἀπολυτίκιον τῶν Ἀποστόλων ἦχ. γ'.
Ἀπόστολοι ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Ἀπολ. Ἁγ. Ἐπιμάχου. Ὁ Μάρτυς σου Κύριε.

Δόξα Ἁγίου Νικολάου ἦχ. γ'.
Μέγα καύχημα τῆς Χίου πόλεως, ἀξιάγαστε τῆς σῆς πατρίδος, ἀθλοφόρε Χριστοῦ γενναιότατε, ὡς οὖν ἐν ταύτῃ τὸ αἷμα ἐξέχεας, καὶ μακαρίαν εἰργάσω Νικόλαε, οὕτως Ἅγιε ἀσινῆ περίσωζε ταῖς σαῖς πρὸς Κύριον δεήσεσι.

Κοντάκιον τῶν Ἀποστόλων ἦχ. πλ. δ'. Ὡς ἀπαρχὰς
Ὡς ἱερὰ κειμήλια τοῦ Παναγίου Πνεύματος, καὶ τοῦ ἡλίου τῆς δόξης αὐγάσματα, χρεωστικῶς ὑμνήσωμεν τοὺς σοφοὺς Ἀποστόλους, Ἀπελλῆν, Οὐρβάνον τε καὶ Ἀριστόβουλον, Ἀμπλιάν, Νάρ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

κισσον καὶ Στάχυν, οὓς ἡ χάρις συνήγαγε τοῦ Θεοῦ ἡμῶν.

Κοντάκιον ἦχ. γ΄. τοῦ Ἁγίου Νικολάου.

Φερωνύμως γέγονας, νίκης λαοῦ ὀρθοδόξου, ἱερὲ Νικόλαε ὑπὲρ Χριστοῦ ἐναθλήσας, ὅθεν σοι ἐν κατανύξει ψυχῆς βοῶμεν, δώρησαι ἡμῖν τὴν νίκην ταῖς σαῖς πρεσβείαις, κατ᾽ ἐχθρῶν τῶν ὁρωμένων καὶ ἀοράτων τοῖς σὲ τιμῶσι πιστῶς.

Μεγαλυνάριον

Ὡς ἀστὴρ ἐξέλαμψας φαεινός, ἐκ τῆς νήσου Χίου, τῶν μαρτύρων ἡ καλλονή, Νικόλαε μάκαρ καὶ πάντας καταυγάζεις, τοὺς σε ἀνευφημοῦντας καὶ μεγαλύνοντας.

Ἀπολυτίκια κοντάκια καὶ μεγαλυνάρια ἀπὸ τὰς 26 ἕως 31 Ὀκτωβρίου.

**Διάταξις ἐκ τῶν Κανόνων τοῦ Ἱεροῦ Πηδαλίου. Πότε γίνεται κατάλυσις κρέατος, ἰχθύος καὶ ἐλαίου.**

Ἡ Διακαινήσιμος ἑβδομάς, ἡ Πεντηκοστὴ ἑβδομάς, καὶ ἡ κυρία ἡμέρα τῶν Χριστουγένων καὶ Θεοφανείων, ὁποίαν ἡμέραν τύχῃ γίνεται κατάλυσις εἰς πάντα τοῦ κρέατος ὡς καὶ εἰς πασχαλινὴν ἡμέραν.

Ἰχθύος κατάλυσις, εἰς τὰς Θεομητορικὰς Ἑορτὰς τὸ Γενέθλιον τῆς Θεοτόκου τῶν Εἰσοδίων τῆς Ὑπαπαντῆς ἂν συμπέσῃ ἕως τῆς Κυριακῆς τῆς Τυροφάγου ἢ τὴν Καθαρὰν Δευτέραν ἔχει ἔλαιον ἡ ἑορτὴ τῆς Ὑπαπαντῆς, τοῦ Εὐαγγελισμοῦ ἕως τῶν Βαΐων καταλύετε ἰχθύας, ἂν συμπέσῃ Μ. Δευτέραν ἕως Μ. Πέμπτην ἔχει κατάλυσις οἴνου· τὴν Τετάρτην τῆς Μεσοπεντηκοστῆς, Τετάρτην Ἀποδώσεως Πάσχα, Γενέθλιον τοῦ Προδρόμου 24 Ἰουνίου, Πρωτοκορυφαίων Ἀποστόλων 29 Ἰουνίου, τῆς Μεταμορφώσεως 6 Αὐγούστου, τῆς Κοιμήσεως τῆς Θεοτόκου 15 Αὐγούστου, Ἀποστόλου Φιλίππου 14 Νοεμβρίου. 26 Δεκεμβρίου τῇ Δευτέρᾳ ἡμέρᾳ τῶν Χριστουγέννων τῆς Περιτομῆς 1 Ἰανουαρίου 7 ἡ Σύναξις τοῦ Προδρόμου, ἔχει κατάλυσιν ἰχθύος ὁποίαν δήποτε ἡμέραν τύχουν.



Κατάλυσις οἴνου καὶ ἐλαίου Σεπτέμβριος 1 6 9 13 20 23 24 26. Ὀκτώβριος 3 18 20 23 26, Νοέμβριος 1 8 12 13 25 26 καὶ 30, Δεκέμβριος 4 5 6 9 12 15 17 20 καὶ τὸ 12ήμερον γίνεται κατάλυσις οἴνου καὶ ἐλαίου. Ἰανουάριος 11 16 17 18 20 22 25 27 30. Φεβρουάριος 10 11 24. Ἑβδομὰς τοῦ Τριωδίου, καὶ τῆς Τυροφάγου κατάλυσις οἴνου καὶ ἐλαίου. Μάρτιος 9 Μαρτιου καὶ 26 καὶ κατὰ Σάββατον καὶ Κυριακὴν γίνεται μόνον κατάλυσις οἴνου καὶ ἐλαίου. Ἀπρίλιος 23 καὶ 25. Μάϊος 8 21 καὶ 25, Ἰούνιος 30 τῶν 12 Ἀποστόλων, Ἰούλιος 1 11 17 20 25 26 27. Αὔγουστος 16 23 24 καὶ 29 ἐὰν συμπέσουν Σάββατον ἢ Κυριακήν.

Κανὼν ΞΘ τῶν ἁγίων Ἀποστόλων· ὁ κατα-

λύων Τετάρτην καὶ Παρασκευὴν κρέας καὶ ὠφάριον λαϊκὸς ἀφοριζέσθω, ἱερεὺς καθαιρείσθω εἰ μὴ μόνον δι' ἀσθένειαν σωματικήν.

Ἁγία καὶ Μ. Τεσσαρακοστὴ Σάββατον καὶ Κυριακὴν μόνον οἶνον καὶ ἔλαιον, τὰς δὲ λοιπὰς ἡμέρας ξηροφαγίαν.

Τῶν Ἁγίων Ἀποστόλων ἡ νηστεία εἶναι ἡ ἑξῆς· Σάββατον καὶ Κυριακὴν ἰχθύος κατάλυσις καὶ τὸ Γενέθλιον τοῦ Προδρόμου, τὰς δὲ λοιπὰς ἡμέρας εἰς ἔλαιον καὶ οἶνον πλὴν νηστείας Τετάρτης καὶ Παρασκευῆς. Τὸ δὲ 15αύγουστον ἡμέραι ξηροφαγίας, πλὴν Σάββατον καὶ Κυριακὴν ἔλαιον, καὶ τὴν ἡμέραν τῆς Μεταμορφώσεως ἰχθύας.

Τὸ δὲ Σαρανταήμερον κατάλυσις ἰχθύος ἀπὸ τὴν ἡμέραν τῶν Εἰσοδίων ἕως τῆς 19 Δεκεμβρίου Σάββατον καὶ Κυριακήν, καὶ τὰς ἑορτὰς τῆς Ἁγίας Αἰκατερίνης, ἁγ. Ἀνδρέου, ἁγ. Σάββα ἁγ. Νικολάου, ἁγίας Ἄννης ἁγ. Σπυρίδωνος καὶ ἁγ. Διονυσίου 17 Δεκεμβρίου, πλὴν Τετάρτης καὶ Παρασκευῆς, ἂν συμπέσουν αἱ ἑορταὶ αὗται ἔχουν μόνον κατάλυσιν οἴνου καὶ ἐλαίου, ἕως τὴν 20 τοῦ ἁγ. Ἰγνατίου, ὅπου ἄρχονται τὰ προεόρτια τῶν Χριστουγέννων.

Αὐτὴ εἶναι ἡ Ἐκκλησιαστικὴ διάταξις, καὶ ὅποιος ἔχει ἀμφιβολίαν ἂς ἀναγνώσῃ κατὰ βάθος τὸ ἱερὸν Πηδάλιον νὰ φωτισθῇ καλλίτερα διότι τὸ Μ. Ὡρολόγιον, καὶ τὸ Ἱερὸν Τριώδιον, ἔχουν

...ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...



πολλὰς καινοτομίας, ὅπου εἶναι ἀπαράδεκτα εἰς τοὺς ἱεροὺς κανόνας. Ὁ νοῶν νοήτω.

**Πηδάλιον 634**

**Τὰ προσφερόμενα δῶρα Ἄρτος καὶ Νάμα πρέπει νὰ εἶναι ἐκλεκτότερα.**

Βαρέως ἁμαρτάνει ὁ ἱερεύς, ὅπου δὲν προβλέπει νὰ διαφωτίσῃ τὸ ποίμνιόν του, πρέπει νὰ μὴν ἀμελοῦν οἱ χριστιανοὶ νὰ προσφέρουν δῶρα ἐκλεκτὰ εἰς τὸν Θεόν, διότι ὅταν ἀδιαφοροῦν κολάζονται. Τῶν δὲ παρανόμως ζώντων, δὲν εἶναι δεκταὶ αἱ προσφοραὶ αὐτῶν. Οὐ προσήσας μίσθωμα πόρνης, οὐδὲ ἄλλαγμα κυνὸς εἰς τὸν οἶκον τοῦ Θεοῦ σου, βδέλυγμα ἐστὶ Κυρίῳ τῷ Θεῷ σου. Μίσθωμα πόρνης ἁγνὸς οὐ μερίζεται. (Γρηγόριος ὁ Θεολόγος). Ἐμποδίζονται καὶ ὅσοι εὑρίσκονται εἰς τὴν ἁμαρτίαν εἰς μεγάλον κανόνα τοῦ πνευματικοῦ, φόνον, μοιχείαν, κλοπήν, ἀδικίαν, αἰσχροκέρδειαν, καταλαλιάν, ψευδομαρτυρίαν, εἰς ὅσα εἶναι ἁμαρτήματα θανάσιμα, καὶ οὔτε πρέπει οἱ τοιοῦτοι νὰ λαμβάνουν ἀντίδωρον, ἕως ὅτου μετανοήσουν καὶ ἐκτελέσουν τὸν κανόνα των καὶ πέσουν εἰς μετάνοιαν.

Ὁ Πνευματικὸς Πατὴρ ἱερεὺς καὶ ἐφημέριος
τοῦ ἱεροῦ Ναοῦ Ὁσίου Μελετίου
Γεώργιος Α. Βουτέρης ἐν ἔτει 1925

ΤΕΛΟΣ

# ΕΥΡΙΣΚΟΝΤΑΙ ΠΑΡ' ΗΜΙΝ ΑΙ ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

Τῆς Λαμπρᾶς καὶ ἐνδόξου Μεταμορφώσεως
Τῆς Παναγίας Μυρτιδιωτίσσης Κυθήρων
Τοῦ Ἁγίου Διονυσίου Ἀρχ. Αἰγίνης Ζακύνθου
Τοῦ Ἁγίου ἐνδόξου καὶ Εὐαγγελιστοῦ Λουκᾶ
Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Τρύφωνος
Τοῦ Ἁγίου ἐνδόξου Νεομ. Κωνσταντίνου Ὕδρας
Τῆς Ἁγίας ἐνδόξου Μεγ. Φωτεινῆς τῆς Σαμαρείτιδος
Τῆς Ἁγίας ἐνδόξου Μεγαλομ. καὶ Ἰσαποστόλου Μαγδαληνῆς καὶ Ἁγίας Μαρκέλλης
Τοῦ ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου.
Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Μελετίου.
Τοῦ Ἁγίου Ἱερομάρτυρος Πολυκάρπου ἐπ. Σμύρνης
Τῆς Ἁγίας Μητρὸς ἡμῶν Φιλοθέης Ἀθηνῶν
Τοῦ Ἁγίου Ἱερομ. Διονυσίου τοῦ Ἀρεοπαγίτου
Βίοι ὁμοῦ Ἁγίων Ἀναργύρων καὶ Παράκλ. καὶ Βίος τῶν Ἁγίων Ἀκινδύνων. 1 καὶ 2 Ν βρίου ἡ Ἑορτή των.
Ἱεραὶ Καταβασίαι καὶ Μεγαλυνάρια ὅλου τοῦ ἔτους.
Καὶ ἄλλων διαφόρων Ἁγίων Ἀκολ. καὶ Βίοι αὐτῶν.
Τῆς Ἁγίας Παρασκευῆς 26 Ἰουλίου
Τοῦ Ἁγίου Γεωργίου τοῦ ἐξ Ἰωαννίνων
Τοῦ Ἁγίου Φανουρίου τοῦ Νεοφανοῦς
Τῆς Ἁγίας Μεγαλομάρτυρος Κυριακῆς.
Τοῦ Ἁγίου Ἱερομάρτ. Βλασίου.
Τοῦ Ἁγίου Ἰωάννου Μητροπολ. Θηβῶν.
Παράκλησις καὶ Χαιρετισμοὶ εἰς τὸν Ἅγ. Γεώργιον
Παράκλησις καὶ Χαιρετισμοὶ εἰς τὸν Μυροβλήτην Δημήτριον.
Καὶ μικρὰ φυλλάδια τῆς Μεταλήψεως, τῶν χαιρετισμῶν τῆς Θεοτόκου, Νεκρώσιμος Ἀκολουθία Ἀκολουθία τῆς Ἱερᾶς Παρακλήσεως, τὰ Ἄνθη τοῦ Παραδείσου ὑπὸ Χαρίτωνος Μοναχοῦ.

**Εὑρίσκονται** παρὰ τῷ Αἰδεσιμωτάτῳ Γεωργίῳ Α. Βουτέρῃ Ἱερεῖ, Ἐφημερίῳ Ὁσίου Μελετίου, Οἰκία του Ὁδὸς Ἁγίου Μελετίου Ἀριθ. 25, Τρὰμ Ἀχαρνῶν - Τέρμα.